# Burton & Goodspeed # 135: Concerning Divorce

| Matthew 19:3-12 | Mark 10:2-12 |
| --- | --- |
| **Matthew 19:3** | **Mark 10:2** |
| Καὶ προσῆλθον αὐτῷ Φαρισαῖοι | καὶ προσελθόντες Φαρισαῖοι |
| πειράζοντες αὐτὸν | |
| καὶ λέγοντες, | ἐπηρώτων αὐτὸν |
| Εἰ ἔξεστιν | εἰ ἔξεστιν |
| ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ | ἀνδρὶ γυναῖκα ἀπολῦσαι, |
| κατὰ πᾶσαν αἰτίαν; | πειράζοντες αὐτόν. |
| **4** ὁ δὲ ἀποκριθεὶς εἶπεν, | **3** ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, |
| | Τί ὑμῖν ἐνετείλατο Μωϋσῆς; |
| | **4** οἱ δὲ εἶπαν, |
| | Ἐπέτρεψεν Μωϋσῆς |
| | βιβλίον ἀποστασίου γράψαι |
| | καὶ ἀπολῦσαι. |
| | **5** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, |
| | Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν |
| | ἔγραψεν ὑμῖν τὴν ἐντολὴν |
| | ταύτην. |

| | |
|---|---|
| Οὐκ ἀνέγνωτε ὅτι | |
| ὁ κτίσας ἀπ’ ἀρχῆς | **6** ἀπὸ δὲ ἀρχῆς κτίσεως |
| ἄρσεν καὶ θῆλυ | ἄρσεν καὶ θῆλυ |
| ἐποίησεν αὐτούς; | ἐποίησεν αὐτούς· |
| **5** καὶ εἶπεν, | |
| Ἕνεκα τούτου καταλείψει | **7** ἕνεκεν τούτου καταλείψει |
| ἄνθρωπος | ἄνθρωπος |
| τὸν πατέρα καὶ τὴν μητέρα | τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα |
| καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, | [καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ], |
| καὶ ἔσονται οἱ δύο εἰς σάρκα | **8** καὶ ἔσονται οἱ δύο εἰς σάρκα |
| μίαν. | μίαν· |
| **6** ὥστε οὐκέτι εἰσὶν δύο | ὥστε οὐκέτι εἰσὶν δύο |
| ἀλλὰ σὰρξ μία. | ἀλλὰ μία σάρξ. |
| ὃ οὖν ὁ θεὸς συνέζευξεν | **9** ὃ οὖν ὁ θεὸς συνέζευξεν |
| ἄνθρωπος μὴ χωριζέτω. | ἄνθρωπος μὴ χωριζέτω. |
| **7** λέγουσιν αὐτῷ, | |
| Τί οὖν Μωϋσῆς ἐνετείλατο | |
| δοῦναι βιβλίον ἀποστασίου | |
| καὶ ἀπολῦσαι [αὐτήν]; | |
| **8** λέγει αὐτοῖς ὅτι Μωϋσῆς | |

| | |
|---|---|
| πρὸς τὴν σκληροκαρδίαν ὑμῶν<br>ἐπέτρεψεν ὑμῖν<br>ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν,<br>ἀπ’ ἀρχῆς δὲ οὐ γέγονεν<br>οὕτως. | |
| | **10** Καὶ εἰς τὴν οἰκίαν πάλιν<br>οἱ μαθηταὶ περὶ τούτου<br>ἐπηρώτων αὐτόν. |
| **9** λέγω δὲ ὑμῖν ὅτι | **11** καὶ λέγει αὐτοῖς, |
| ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα<br>αὐτοῦ | Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα<br>αὐτοῦ |
| μὴ ἐπὶ πορνείᾳ | |
| καὶ γαμήσῃ ἄλλην<br>μοιχᾶται. | καὶ γαμήσῃ ἄλλην<br>μοιχᾶται ἐπ’ αὐτήν· |
| | **12** καὶ ἐὰν αὐτὴ ἀπολύσασα τὸν ἄνδρα<br>αὐτῆς γαμήσῃ ἄλλον μοιχᾶται. |
| **10** λέγουσιν αὐτῷ οἱ μαθηταὶ [αὐτοῦ], Εἰ<br>οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ<br>τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι.<br>**11** ὁ δὲ εἶπεν αὐτοῖς, Οὐ πάντες<br>χωροῦσιν τὸν λόγον [τοῦτον] ἀλλ’ οἷς<br>δέδοται. | |

| | |
|---|---|
| **12** εἰσὶν γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν χωρείτω. | |

Matthew: 197 – 13 = 184 Mark: 142 – 14 = 128 Identical: 118/312 = 37.82%